**4.** Οὔτ' οὖν ἀπαθεῖς ἐπὶ τῶν τοιούτων συμφορῶν ὁ λόγος
ἀξιοῖ γίγνεσθαι τοὺς εὖ φρονοῦντας οὔτε δυσπαθεῖς· τὸ μὲν
γὰρ ἄτεγκτον καὶ θηριῶδες, τὸ δ' ἐκλελυμένον καὶ γυναικο-
E πρεπές. εὐλόγιστος δ' ὁ τὸ οἰκεῖον ὅρον ἔχων καὶ δυνάμενος
φέρειν δεξιῶς τά τε προσηνῆ καὶ τὰ λυπηρὰ τῶν ἐν τῷ βίῳ
συμβαινόντων, καὶ προειληφὼς ὅτι καθάπερ ἐν δημοκρατίᾳ
κλῆρός ἐστι τῶν ἀρχῶν καὶ δεῖ λαχόντα μὲν ἄρχειν ἀπολαχόντα
δὲ φέρειν ἀνεπαχθῶς τὴν τύχην, οὕτω καὶ τῇ διανομῇ τῶν
πραγμάτων ἀνεγκλήτως καὶ πειθηνίως ἕπεσθαι. τοῦτο γὰρ οἱ
μὴ δυνάμενοι ποιεῖν οὐδὲ τὰς εὐπραγίας ἂν ἐμφρόνως φέρειν
δύναιντο καὶ μετρίως. τῶν μὲν γὰρ καλῶς λεγομένων ἐστὶν
ἐν ὑποθήκης μέρει καὶ τοῦτο (Eurip. fr. 963)

'μηδ' εὐτυχημα μηδὲν ὧδ' ἔστω μέγα,
F ὅ σ' ἐξεπαρεῖ μεῖζον ἢ χρεὼν φρονεῖν,
μηδ' ἄν τι συμβῇ δυσχερές, δουλοῦ πάλιν,
ἀλλ' αὐτὸς αἰεὶ μίμνε, τὴν σαυτοῦ φύσιν
σῴζων βεβαίως, ὥστε χρυσὸς ἐν πυρί.'

πεπαιδευμένων γάρ ἐστι καὶ σωφρόνων ἀνδρῶν πρός τε τὰς
103 δοκούσας | εὐτυχίας τὸν αὐτὸν εἶναι, καὶ πρὸς τὰς ἀτυχίας
γενναίως φυλάξαι τὸ πρέπον. τῆς γὰρ εὐλογιστίας ἔργον ἐστὶν
ἢ φυλάξασθαι τὸ κακὸν ἐπιφερόμενον ἢ διορθώσασθαι γενό-
μενον ἢ συστεῖλαι πρὸς τὸ βραχύτατον ἢ παρασκευάζειν αὑτῷ
τὴν ὑπομονὴν ἄρρενα καὶ γενναίαν. καὶ γὰρ περὶ τἀγαθὸν ἡ
φρόνησις πραγματεύεται τετραχῶς, ἢ κτωμένη τἀγαθὰ ἢ φυ-
λάττουσα ἢ αὔξουσα ἢ χρωμένη δεξιῶς. οὗτοι τῆς φρονήσεως
καὶ τῶν ἄλλων ἀρετῶν εἰσι κανόνες, οἷς πρὸς ἀμφότερα χρηστέον.
'οὐκ ἔστιν' γὰρ 'ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ' (Eur. fr. 661)
B καὶ νὴ Δία

'τό τοι χρεὼν οὐκ ἔστι μὴ χρεὼν ποιεῖν' (Tr. ad. 368).